**δυάς**

Hephaest. 63. 15 sqq. κοινὰ δὲ (*scil.* τὰ ποιήματα) [συστηματικά], ἅπερ καὶ ὁ κατὰ στίχον γεγράφθαι φάσκων ὑγιῶς ἂν λέγοι καὶ ὁ κατὰ σύστημα, ὡς τὸ δεύτερον καὶ τρίτον Σαπφοῦς. διὰ μὲν γὰρ τὸ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις κατὰ δύο ὁρᾶν παραγεγραμμένον ἕκαστον ᾆσμα, καὶ ἔτι διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ, κατὰ συστήματα νομίζομεν αὐτὰ γεγράφθαι· πάλιν δέ, τῷ ὅμοιον ἑκάτερον εἶναι τῶν ἐν τῇ δυάδι στίχων, καὶ τῷ δύνασθαι τὴν ποιήτριαν κατὰ τύχην τινὰ ἀρτίου πάντα ἀριθμοῦ πεποιηκέναι, φαίη τις ἂν κατὰ στίχον αὐτὰ γεγράφθαι.

Schol. vet. in Pind. *praef.* (III, p. 306. 24 sqq. Drachmann) = Schol. rec. in Pind. *Ol.* 1 (p. 45. 4 sqq. Abel) ἐχρῶντο δὲ (*scil.* οἱ λυρικοί) καὶ τριάσι καὶ δυάσιν, ὡς οὗτος [ὁ ποιητής], ἤγουν στροφῇ, ἀντιστρόφῳ καὶ ἐπῳδῷ, ἢ στροφῇ μόνῃ καὶ ἀντιστρόφῳ.

Schol. in Aristoph. *Ach.* 204a (p. 36. 9 sqq. Wilson) vet κορωνίς· εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον. καὶ ἔστι μεταβολικὸν τὸ μέλος, ἐκ δύο δυάδων μονοστροφικῶν· ὧν ἡ μὲν πρώτη ιδʹ κώλων ἔχει τὰς περιόδους, ὧν δʹ μὲν ἐν ἐκθέσει τροχαϊκοὶ καταληκτικοὶ τετράμετροι, εἶτα ἐν εἰσθέσει κῶλα γʹ παιωνικὰ δίρρυθμα.

Schol. in Aristoph. *Ach.* 284a (p. 48. 14 sqq. Wilson) vet Ἡράκλεις] διπλῆ· εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους, ἐκ στίχων δύο τροχαικῶν τετραμέτρων καταληκτικῶν καὶ κώλων ηʹ· ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός.

Schol. in Aristoph. *Ach.* 303 (p. 50. 23 sq. Wilson) vet σοῦ δ᾽ ἐγὼ λόγους λέγοντος] ἕπεται τῇ δυάδι δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν, ὅπερ ἐστὶ τετράμετρον τροχαικὸν καταληκτικόν.

Schol. in Aristoph. *Ach.* 336b (p. 54. 19 sqq. Wilson) vet διπλαῖ δὲ δύο, ὅτι ἡ ἑτέρα ἕπεται δυάς, ἡ ἀντιστρέφουσα τῇ προαποδεδομένῃ, ἧς ἡ ἀρχὴ (v. 335) ‘ὡς ἀποκτενῶ κέκραχθε’, τέλος δὲ τῆς πρώτης (v. 340) ‘οὐ προδώσω ποτέ’, τῆς δὲ δευτέρας (v. 346) ‘τῇ στροφῇ γίνεται’.

Schol. in Aristoph. *Ach.* 946 (p. 120. 23 sq. Wilson) vet ἤδη καλῶς ἔχει σοι] ἤδη καλῶς ἐδεσμεύθη. διπλῆ καὶ ἕπεται <δυὰς> ὁμοία ἐκ στίχων ἑφθημιμερῶν τῇ πρώτῃ.

Schol. in Aristoph. *Ach.* 1150b (p. 143. 1 sqq. Wilson) vet τὸν ξυγγραφῆ] διπλῆ καὶ ἡ τῶν ὁμοίων δυὰς ἔχουσα τὰς περιόδους δωδεκακώλους, ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τὸ βʹ ἐν μὲν τῇ πρώτῃ περιόδῳ ἐστὶν ἰαμβικόν, ἐν δὲ τῇ δευτέρᾳ περιόδῳ χοριαμβικόν· ἔστι δὲ συγγενὲς τῷ ἰαμβικῷ. τὸ τρίτον χοριαμβικόν. ἑφθημιμερὲς τὸ τέταρτον.

Schol. in Aristoph. *Ach.* 1214a (p. 148. 16 sqq. Wilson) vet λάβεσθέ μου λάβεσθε] διπλῆ καὶ δυάδες τρεῖς, δικώλους ἔχουσαι τὰς περιόδους, ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμένου <καὶ κώλων διαφόρων>. τῆς μὲν οὖν πρώτης δυάδος τὸ δεύτερόν ἐστι παιωνικὸν δίρρυθμον, τὸ (v. 1217) ‘προσλάβεσθ᾽ ὦ φίλαι’.

Schol. in Aristoph. *Ach.* 1223a (p. 148. 24 Wilson) vet παιωνίαισι] τῆς τρίτης δυάδος ἰαμβικὸν ἑφθημιμερές.

Schol. in Aristoph. *pac.* 346a. 1 (p. 56 Holwerda) vet διπλῆ καὶ <δυὰς> τῶν ὁμοίων ἑκκαιδεκακώλων.

Schol. in Aristoph. *pac.* 775d. 1 sq. (p. 120 Holwerda) vet διπλῆ καὶ μεταβολὴ εἰς μονοστροφικὴν δυάδα ἐννεακαίδεκα κώλων ἔχουσα τὰς περιόδους.

Schol. A in Hephaest. 166. 23 sqq. κοινὰ δὲ συστηματικά] συστηματικὰ γὰρ (*scil.* τὰ ποιήματα) ἂν εἴη κοιωνοῦντα τοῖς κατὰ στίχον. διὰ μὲν γὰρ τὸ ἐν τοῖς παλαιοῖς ἀντιγραφοῖς κατὰ δύο ὁρᾶν παραγεγραμμένα, ὥσπερ ἐν περιορισμῷ συστήματα, προσέτι καὶ διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ ἐν αὐτοῖς ὥσπερεὶ πλήρη καὶ ἀντιστρέφοντα ἀλλήλοις εὑρίσκεται.

Schol. A in Hephaest. 167. 3 sqq. καὶ ἔτι διὰ τὸ μηδὲν] οὔτε γὰρ ποιότητι οὔτε ποσότητι διαφέρει, κατὰ δυάδα δὲ διῄρηται παρὰ τοῖς παλαιοῖς.

Schol. A in Hephaest. 171. 3 sqq. οἷον <ὅταν> δύο ἢ πλείονα ἀνόμοια ἀλλήλοις καὶ ἑξῆς ἐπαγάγῃ τοσαῦτα συστήματα ὅμοια τοῖς προκειμένοις, πάλιν ἀλλήλοις μὲν ἀνόμοιά ἐστιν, ἀνταποδιδόμενα δὲ τοῖς προκειμένοις συστήμασιν· οἷον εἰ τύχοι δύο περικοπαὶ ἐκ τριῶν συστημάτων αβγ αβγ. ταῦτα ἀλλήλοις ἀνόμοια, ἐπιφερομένων δὲ αὐτοῖς ὁμοίων γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές· τοιαῦτα δέ ἐστιν ἐν δυάδι τὰ ἐν ταῖς κωμικαῖς παραβάσεσιν· οἷον τὸ μέλος καὶ τὸ ἐπίρρημα ἑξῆς κείμενα ἀλλήλοις ἐστὶν ἀνόμοια, ἀλλ᾽ ἐπαγομένου αὐτοῖς τοῦ τε ἀντιστρέφοντος τῷ μέλει καὶ τοῦ ἀντεπιρρήματος, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές, τῶν μὲν περικοπῶν ἀντιστρεφουσῶν ἀλλήλαις, τῶν δὲ μερῶν αὐτῶν ἀνομοίων ὄντων ἀμφοτέρας ἀλλήλοις· ὥστε τὰ ἐν ταῖς παραβάσεσι τῶν κωμῳδιῶν κατὰ διστιχίαν ἀλλήλοις ἀνταποδιδόμενα, ἤγουν κατὰ τὸ αὐτὸ μέτρον, δακτυλικὸν ἢ ἄλλο ὅμοιον, σπανιώτατά ἐστιν. [*F.R.*]